καὶ ἀπὸ πρωίας ἠχεῖν τὸ ἁγίασμα.
11 κύριος ἀφεῖλεν τὰς ἁμαρτίας αὐτοῦ
καὶ ἀνύψωσεν εἰς αἰῶνα τὸ κέρας αὐτοῦ
καὶ ἔδωκεν αὐτῷ διαθήκην βασιλέων
καὶ θρόνον δόξης ἐν τῷ Ισραηλ.
12 Μετὰ τοῦτον ἀνέστη υἱὸς ἐπιστήμων
καὶ δι᾽ αὐτὸν κατέλυσεν ἐν πλατυσμῷ·
13 Σαλωμων ἐβασίλευσεν ἐν ἡμέραις εἰρήνης,
ᾧ ὁ θεὸς κατέπαυσεν κυκλόθεν,
ἵνα στήσῃ οἶκον ἐπ᾽ ὀνόματι αὐτοῦ
καὶ ἑτοιμάσῃ ἁγίασμα εἰς τὸν αἰῶνα.
14 ὡς ἐσοφίσθης ἐν νεότητί σου
καὶ ἐνεπλήσθης ὡς ποταμὸς συνέσεως.
15 γῆν ἐπεκάλυψεν ἡ ψυχή σου,
καὶ ἐνέπλησας ἐν παραβολαῖς αἰνιγμάτων·
16 εἰς νήσους πόρρω ἀφίκετο τὸ ὄνομά σου,
καὶ ἠγαπήθης ἐν τῇ εἰρήνῃ σου·
17 ἐν ᾠδαῖς καὶ παροιμίαις καὶ παραβολαῖς
καὶ ἐν ἑρμηνείαις ἀπεθαύμασάν σε χῶραι.
18 ἐν ὀνόματι κυρίου τοῦ θεοῦ
τοῦ ἐπικεκλημένου θεοῦ Ισραηλ
συνήγαγες ὡς κασσίτερον τὸ χρυσίον
καὶ ὡς μόλιβον ἐπλήθυνας ἀργύριον.
19 παρανέκλινας τὰς λαγόνας σου γυναιξὶν
καὶ ἐνεξουσιάσθης ἐν τῷ σώματί σου·
20 ἔδωκας μῶμον ἐν τῇ δόξῃ σου
καὶ ἐβεβήλωσας τὸ σπέρμα σου
ἐπαγαγεῖν ὀργὴν ἐπὶ τὰ τέκνα σου
καὶ κατανυγῆναι ἐπὶ τῇ ἀφροσύνῃ σου
21 γενέσθαι δίχα τυραννίδα
καὶ ἐξ Εφραιμ ἄρξαι βασιλείαν ἀπειθῆ.
22 ὁ δὲ κύριος οὐ μὴ καταλίπῃ τὸ ἔλεος αὐτοῦ
καὶ οὐ μὴ διαφθείρῃ ἀπὸ τῶν λόγων αὐτοῦ
οὐδὲ μὴ ἐξαλείψῃ ἐκλεκτοῦ αὐτοῦ ἔκγονα
καὶ σπέρμα τοῦ ἀγαπήσαντος αὐτὸν οὐ μὴ ἐξάρῃ·
καὶ τῷ Ιακωβ ἔδωκεν κατάλειμμα
καὶ τῷ Δαυιδ ἐξ αὐτοῦ ῥίζαν.

10[4] πρωιας] ας > B†, + φωνη S[c]† || 12[2] κατεπαυσεν S†: ex 13[2] || 17[1]] pr. και A 17[2] ερμην(ε)ια B†, ερημιαις A† | επεθαυμ. A† || 19[1] παρεκλινας S || 20[1] εν > S† | 20[4] κατανυγηναι compl.] κατενυγην BSA || 21[1] τυραννιδος S[c] | 21[2] αρξας SV† || 22[1] καταλιπη] pr. εγ A | 22[2] διαφθαρη BS* | λογων Sm.] εργων mss. | 22[4] και] + το A†